δόντων ἐξουσίᾳ καὶ διαφενακίσει. Καθαιματώσει.] αἵματι μιανεῖ καὶ προπηλακίσει. Αρήξετε.] βοηθήσετε. Πολλὴν βοὴν] οὐ μετὰ πολλῆς βοῆς καὶ κραυγῆς ἀναστήσεσθε, καὶ ἐκβοηθήσετε. ἀλλὰ ἄρα σχετλιαστικὸν καταφρονήσετε καὶ τλήσεσθέ με ἀποστερηθεῖσαν μόνου καὶ ἀγαπητοῦ τέκνου.

Bisetvs. Α ἆ] σχετλιαστικὸν ἐπίρρημα. καὶ μετὰ τοῦτο στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δέκα. ἡ δὲ νῦν τούτῳ τῷ ἐπιφωνήματι χρωμένη γυνὴ, καὶ τὰ ἑξῆς λέγουσα, μία ἐστὶ τῶν φυλαττουσῶν τὸν Μνησίλοχον τὸν εἰς φυλακὴν παραδεδομένον. ἐν ᾧ δὲ χρόνῳ αἱ τοῦ χοροῦ γυναῖκες μετὰ πάσης ἀκριβείας, καὶ σπουδῆς ζητοῦσιν εἴπου τις ἄλλος ἀνὴρ παρὰ τοῦτον ἐν τῇ ἐκκλησίᾳ λαθὼν εἴη, Μνησίλοχος ἐν τούτῳ καλὸν φυγῆς καιρὸν φυλάξας, ἀσκὸν οἴνου πλέων, ὅν τις τῶν γυναικῶν παιδίου δίκην ἐσπαργανωμένον εἰς τὴν ἐκκλησίαν ἤνεγκε, καὶ ἐν κόλπῳ ἐβάσταζεν, ἁρπάσας φεύγει. διὰ δὲ ταύτην τοῦ ἀσκοῦ ἁρπαγὴν θόρυβος εὐτραπελίας, καὶ γέλωτος πολλοῦ μεστὸς ἐγείρεται. τοῦ δὲ Μνησιλόχου αὐτὸν οὐκ ἀφήσειν λέγοντος, εἰ μὴ καὶ αὐτὸς ὑπὸ τῶν γυναικῶν ἐλεύθερος, καὶ ἀβλαβὴς ἀφεθείη. γελοῖα δὲ καὶ τὰ περὶ τοῦ ἀσκοῦ ὡς περὶ κόρης λεγόμενα. ἐν δὲ τούτῳ τῷ στίχῳ γραπτέον, ὡς εἴρηται, Ποῖ, ποῖ σὺ φεύγεις; τὸ δὲ γὰρ παρέλκον ἔσται, ὡς καὶ πολλάκις ἀλλαχοῦ εὕροις. ἐν δὲ τῷ φροῦδος, ἔλλειψίς ἐστι τοῦ οἴχεται, ἢ ἀπῆλθε. Κέκραχθι] κράζω, κράξω, τὸ βοῶ. ὁ μέλλων παρακείμενος κέκραγα, ὅθεν θέμα κεκράγω, κεκράξω, ὡς ἀπὸ τοῦ πλήττω, πλήξω, πέπληγα, τὸ πεπλήγω, ὅπερ ἐκ τοῦ παρακειμένου εἰς ἐνεστῶτα ἀνήχθη. ἀπὸ δὲ τοῦ κεκράγω γίνεται τὸ κεκέκραγμαι, καὶ κατὰ συγκοπὴν κέκραγμαι, ὅθεν ὁ α. ἀόριστος παθητικὸς ἐκεκράχθην, καὶ τὸ προστακτικὸν κεκράχθητι, καὶ κατὰ συγκοπὴν κέκραχθι. ψωμιεῖς δὲ, ψωμίσεις, θρέψεις. Πολλὴν βοὴν] κατὰ πολλὴν βοὴν, μετὰ πολλῆς, καὶ μεγάλης βοῆς τρόπαιον στήσεσθε. περὶ δὲ τροπαίων ἐν τῷ Πλούτῳ ἱκανῶς προείρηται. περιόψεσθε δὲ, καταφρονήσετε.

Χο. Εα. ἔα.
Ω πότνιαι μοῖραι. τί δεδέρκομαι
Νεοχμὸν αὖ τέρας.
Ως ἅπαντ' ἐστὶν τόλμης ἔργα κἀναισχυντίας.
Οἷον αὖ δέδρακεν ἔργον, οἷον αὖ φίλαι τόδε.
Μν. Οἷον ὑμῶν ἐξαρξῶ τὴν ἄγαν αὐθαδίαν.
Χο. Ταῦτα δῆτ' οὐ δεινὰ πράγματ' ἐστὶ καὶ περαιτέρω.
Γυ. Δεινὰ δῆθ' ὅτι γ' ἔχει μου 'ξαρπάσας τὸ παιδίον.
Χο. Τί ἂν οὖν εἴποι πρὸς ταῦτα τίς. ὅτε
Τοιαῦτα ποιῶν ὅδ' ἀναισχυντεῖ;
Μν. Κοὔπω μέντοι γε πέπαυμαι.
Γυ. Αλλ' οὖν ἥκεις γ' ὅθεν ἥκεις.
Φαύλως τ' ἀποδρὰς οὐ λέξεις
Οἷον δράσας διέδυς ἔργον.
Λήψει δὲ κακόν.
Μν. Τοῦτο μέντοι μὴ γένοιτο μηδαμῶς ἀπεύχομαι
Χο. Τίς οὖν σοι τίς ἂν σύμμαχος ἐκ θεῶν
Αθανάτων ἔλθοι ξὺν ἀδίκοις ἔργοις.
Μν. Μάτην λαλεῖτε. τὴν δ' ἐγ' οὐκ ἀφήσω.

CHO. *Sine sine*
C *O veneranda Parcæ. quid autem video*
*Nouum rursus prodigium?*
*Quàm totum enim est audaciæ opera & impudentiæ,*
*Qualem rursus fecit rem, qualem rursus amicæ hanc?*
MN. *Qualiter vestrûm initiabo nimia insolentia?*
D CHO. *Hæ verò nónne indignæ res sunt & vlterius.*
MVL. *Indigna quidem, quòd habet mei, cum eripuerit infantem.*
CHO. *Quid igitur diceret adhac aliquis, cum*
*Talia faciens hic non erubescit?*
MN. *Et nondum quidem cessaui.*
MVL. *Sed certè venisti, vnde non dices, quòd abis.*
E *Faciléque aufugis, non dices.*
*Quale cum feceris, subterfugisti facinus?*
*Accipies autem pœnas.*
MN. *Hoc tamen ne fiat, nequaquam abominor.*
CHO. *Quis igitur tibi, quis adiutor ex dijs*
*Immortalibus venire cum iniustis factis?*
MN. *Frustra loquimini, hanc autem puellam ego non dimittam.*

F

Bisetvs. Εἆ, ἔα] ἐκπληκτικὸν ἐπίρρημα. εἶτα στίχοι μικτοὶ κϛʹ. μεθ' οὓς τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ δύο. μετὰ δὲ τούτους ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μη. ὧν ὁ τελευταῖος, „ Ξύλον γέ τοι καὶ τ' αὐτὰ, κἀκεῖν' ἦν ξύλον. Τί δὲ δέρκομαι] ἔν τισι τῶν ἀντιγράφων οὕτω γράφεται, μιᾷ λέξει, τί δεδέρκομαι. ὅπερ ἴσως ἐξεπίτηδες ὁ ποιητὴς ἐποίησεν, ὅπως τὸ καινὸν τῆς λέξεως θαυμαστότερον εἴη, καὶ τὸ ἦθος τῆς γυναικὸς ἐκπλαγείσης μᾶλλον ἐκτυποῖτο.

G Bovrdinvs. Νεοχμὸν] νεὸν, καινὸν, ξενόν. Τόλμης ἔργα κἀναισχυντίας.] τουτέστι τολμήματα καὶ ἀναισχυντήματα. Εξάρξω.] πῶς δὴ ἄρξομαι λέγειν καὶ ᾄδειν τὴν ὑπερβολικὴν θρασύτητα αὐθαρέσκουσαν καὶ μεγαλοφρονοῦσαν ὑπεροψίαν τοῦδε τοῦ κηδεστοῦ. Καὶ περαιτέρω.] τολμηρότερα, μείζονα, καὶ θερμότερα. Δεινά.] ἄξια τιμωρίας. Διέδυσε.] ἔλαθεν ὑπέδυ. Απεύχομαι.] μετ' εὐχῆς ἀποστρέφομαι. Ξὺν ἀδίκοις ἔργοις.] γνώμη ἥδε, τίς σοι θεῶν συμβοηθήσει καὶ συνεργάσεται ἐπὶ τοῖς πονηροῖς καὶ ἀδίκοις ἔργοις. καὶ γὰρ οἱ θεοὶ οὐ κακῶν εἰσιν αἴτιοι οὐδὲ συμπράκτορες ἢ συμβοηθοί, ἀλλὰ μόνον τοῖς ἀγαθὰ προαιρουμένοις συμπράττουσι καὶ συνεργάζονται καὶ συλλαμβάνουσιν. οὐδὲν γὰρ ἀπάτηλον, οὐδ' ἀτελείωτον, οὐδ' ἄπρακτον ἐν τῷ θεῷ, ὅτι κἂν θέλῃ, ὡς λέγει ὁ Ομηρος.

Bisetvs. Τέρας] τέρας, τὸ παρὰ φύσιν γινόμενον πάρπλασμα. τὸ παρὰ φύσιν τεχθὲν, ἢ σημεῖον. νεοχμὸν δὲ, παράδοξον, ἀτοπίας, ἢ θαύματος πλέον. Αὐθαδίαν] αὐθάδης, αὐθάρεσκος, θυμώδης, θρασὺς, ὑπερόπτης. καὶ κλίνεται αὐθάδους, ὡς ὀξώδης, ὀξώδους. καὶ αὐθάδες ἡ κλητικὴ, παράλογον δὲ τὸ αὔθαδες. Σ. ἐκ δὲ τοῦ αὐθάδης, αὐθάδεια κοινῶς, καὶ αὐθαδία Ιωνικῶς. Καὶ περαιτέρω] ἀντὶ τοῦ πλέον ἢ δεινά. Τουτέστιν, οὐ μά-

ιον